ναῦς πέτρηι προσέκυρσας ἐμῆς φιλότητος ἁμαρτὼν
ὦ παῖ, καὶ σαπροῦ πείσματος ἀντελάβου.

οὐδαμά σ' οὐδ' ἀπεὼν δηλήσομαι, οὐδέ με πείσει
οὐδεὶς ἀνθρώπων ὥστέ με μή σε φιλεῖν.

ὦ παίδων κάλλιστε καὶ ἱμεροέστατε πάντων,
στῆθ' αὐτοῦ καί μου παῦρ' ἐπάκουσον ἔπη.

παιδός τοι χάρις ἐστί· γυναικὶ δὲ πιστὸς ἑταῖρος
οὐδείς, ἀλλ' αἰεὶ τὸν παρεόντα φιλεῖ. ×

παιδὸς ἔρως καλὸς μὲν ἔχειν, καλὸς δ' ἀποθέσθαι·
πολλὸν δ' εὑρέσθαι ῥήιτερον ἢ τελέσαι.
μυρία δ' ἐξ αὐτοῦ κρέμαται κακά, μυρία δ' ἐσθλά·
ἀλλ' ἔν τοι †ταύτηι καί τις ἔνεστι χάρις.

οὐδαμά πω κατέμεινας ἐμὴν χάριν, ἀλλ' ὑπὸ πᾶσαν
αἰεὶ σπουδαίην ἔρχεαι ἀγγελίην. ×

ὄλβιος, ὅστις παιδὸς ἐρῶν οὐκ οἶδε θάλασσαν,
οὐδέ οἱ ἐν πόντωι νὺξ ἐπιοῦσα μέλει.

καλὸς ἐὼν κακότητι φίλων δειλοῖσιν ὁμιλεῖς